# ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α

1 Παῦλος ἀπόστολος *Ἰησοῦ Χριστοῦ κατʼ
ἐπιταγὴν Θεοῦ σωτῆρος ἡμῶν, καὶ †Κυρίου
Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν, 2 Τιμοθέῳ
γνησίῳ τέκνῳ ἐν πίστει· χάρις, ἔλεος, εἰρήνη
ἀπὸ Θεοῦ πατρὸς ‡ἡμῶν καὶ §Χριστοῦ Ἰησοῦ
τοῦ Κυρίου ἡμῶν.

3 Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν
Ἐφέσῳ, πορευόμενος εἰς Μακεδονίαν, ἵνα
παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν,
4 μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις
ἀπεράντοις, αἵτινες *ζητήσεις παρέχουσι
μᾶλλον ἢ †οἰκονομίαν Θεοῦ τὴν ἐν
πίστει. 5 Τὸ δὲ τέλος τῆς παραγγελίας
ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας
καὶ συνειδήσεως ἀγαθῆς καὶ πίστεως
ἀνυποκρίτου· 6 ὧν τινες ἀστοχήσαντες
ἐξετράπησαν εἰς ματαιολογίαν, 7 θέλοντες
εἶναι νομοδιδάσκαλοι, μὴ νοοῦντες μήτε ἃ
λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται.

8 Οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος, ἐάν τις
αὐτῷ νομίμως χρῆται, 9 εἰδὼς τοῦτο, ὅτι
δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ
ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς,

---

* **1:1** ιησου χριστου ¦ χριστου ιησου CT † **1:1** κυριου ιησου χριστου ¦ χριστου ιησου CT ‡ **1:2** ημων ¦ — CT § **1:2** χριστου ιησου ¦ ιησου χριστου SCR * **1:4** ζητησεις ¦ εκζητησεις CT † **1:4** οικονομιαν ¦ οικοδομιαν SCR

ἀνοσίοις καὶ βεβήλοις, ‡πατρολῴαις καὶ
§μητρολῴαις, ἀνδροφόνοις, 10 πόρνοις,
ἀρσενοκοίταις, ἀνδραποδισταῖς, ψεύσταις,
ἐπιόρκοις, καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ
διδασκαλίᾳ ἀντίκειται, 11 κατὰ τὸ εὐαγγέλιον
τῆς δόξης τοῦ μακαρίου Θεοῦ, ὃ ἐπιστεύθην
ἐγώ.
12 *Καὶ χάριν ἔχω τῷ ἐνδυναμώσαντί με
Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν
με ἡγήσατο, θέμενος εἰς διακονίαν, 13 †τὸν
πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ
ὑβριστήν· ‡ἀλλὰ ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα
ἐν ἀπιστίᾳ· 14 ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ
Κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν
Χριστῷ Ἰησοῦ. 15 Πιστὸς ὁ λόγος καὶ πάσης
ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς
τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός
εἰμι ἐγώ· 16 ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα
ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται §Ἰησοῦς Χριστὸς
τὴν *πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν
τῶν μελλόντων πιστεύειν ἐπ᾽ αὐτῷ εἰς ζωὴν
αἰώνιον. 17 Τῷ δὲ βασιλεῖ τῶν αἰώνων,
ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ †σοφῷ Θεῷ, τιμὴ καὶ
δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
18 Ταύτην τὴν παραγγελίαν παρατίθεμαί

‡ **1:9** πατρολωαις ¦ πατραλωαις BYZ TR ¦ πατραλοιαις PCK
§ **1:9** μητρολωαις ¦ μητραλωαις BYZ TR ¦ μητραλοιαις PCK
* **1:12** και ¦ — CT † **1:13** τον ¦ το CT ‡ **1:13** αλλα ¦ αλλ ANT NA28 TR § **1:16** ιησους χριστος ¦ χριστος ιησους NA SBL WH * **1:16** πασαν ¦ απασαν CT † **1:17** σοφω 96.6% ¦ — CT 1.8%

σοι, τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ
σὲ προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν
καλὴν στρατείαν, 19 ἔχων πίστιν καὶ ἀγαθὴν
συνείδησιν, ἥν τινες ἀπωσάμενοι περὶ τὴν
πίστιν ἐναυάγησαν· 20 ὧν ἐστιν Ὑμέναιος καὶ
Ἀλέξανδρος, οὓς παρέδωκα τῷ Σατανᾷ, ἵνα
παιδευθῶσι μὴ βλασφημεῖν.

# 2

1 Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι
δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας,
ὑπὲρ πάντων ἀνθρώπων· 2 ὑπὲρ βασιλέων καὶ
πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ
ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ
σεμνότητι. 3 Τοῦτο *γὰρ καλὸν καὶ ἀπόδεκτον
ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ, 4 ὃς πάντας
ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν
ἀληθείας ἐλθεῖν. 5 Εἷς γὰρ Θεός, εἷς
καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος
Χριστὸς Ἰησοῦς, 6 ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον
ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις,
7 εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ καὶ ἀπόστολος·
ἀλήθειαν λέγω †ἐν Χριστῷ, οὐ ψεύδομαι·
διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ.
8 Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας
ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας,
χωρὶς ὀργῆς καὶ ‡διαλογισμοῦ. 9 Ὡσαύτως
§καὶ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ, μετὰ

---

* **2:3** γαρ ¦ — CT † **2:7** εν χριστω ¦ — CT ‡ **2:8** διαλογισμου ¦ διαλογισμων WH § **2:9** και τας 93.6% ¦ και NA SBL 3.5% ¦ — TH WH 1.5%

αἰδοῦς καὶ σωφροσύνης, κοσμεῖν ἑαυτάς,
μὴ ἐν πλέγμασιν, *ἢ χρυσῷ, ἢ μαργαρίταις,
ἢ ἱματισμῷ πολυτελεῖ, 10 ἀλλʼ ὃ πρέπει
γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, διʼ
ἔργων ἀγαθῶν. 11 Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω
ἐν πάσῃ ὑποταγῇ. 12 †Γυναικὶ δὲ διδάσκειν
οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός, ἀλλʼ
εἶναι ἐν ἡσυχίᾳ. 13 Ἀδὰμ γὰρ πρῶτος
ἐπλάσθη, εἶτα Εὕα· 14 καὶ Ἀδὰμ οὐκ ἠπατήθη,
ἡ δὲ γυνὴ ‡ἀπατηθεῖσα ἐν παραβάσει γέγονε·
15 σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν
μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ
μετὰ σωφροσύνης.

# 3

1 Πιστὸς ὁ λόγος· εἴ τις ἐπισκοπῆς ὀρέγεται,
καλοῦ ἔργου ἐπιθυμεῖ. 2 Δεῖ οὖν τὸν
ἐπίσκοπον *ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς
ἄνδρα, †νηφάλεον, σώφρονα, κόσμιον,
φιλόξενον, διδακτικόν· 3 μὴ πάροινον, μὴ
πλήκτην, ‡μὴ αἰσχροκερδῆ, §ἀλλʼ ἐπιεικῆ,
ἄμαχον, ἀφιλάργυρον· 4 τοῦ ἰδίου οἴκου καλῶς
προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ
πάσης σεμνότητος. 5 Εἰ δέ τις τοῦ ἰδίου
οἴκου προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας

* **2:9** η χρυσω ¦ και χρυσιω NA SBL WH ¦ και χρυσω TH † **2:12** γυναικι δε διδασκειν ¦ διδασκειν δε γυναικι CT ‡ **2:14** απατηθεισα ¦ εξαπατηθεισα CT * **3:2** ανεπιληπτον ¦ ανεπιλημπτον CT † **3:2** νηφαλεον ¦ νηφαλιον ANT CT PCK SCR ‡ **3:3** μη αισχροκερδη 69.5% ¦ — CT 29.5% § **3:3** αλλ ¦ αλλα NA27 SBL TH WH

Θεοῦ ἐπιμελήσεται; 6 Μὴ νεόφυτον, ἵνα μὴ
τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου.
7 Δεῖ δὲ *αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν
ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ
καὶ παγίδα τοῦ διαβόλου.
8 Διακόνους ὡσαύτως σεμνούς, μὴ
διλόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας,
μὴ αἰσχροκερδεῖς, 9 ἔχοντας τὸ μυστήριον
τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει.
10 Καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον,
εἶτα διακονείτωσαν, ἀνέγκλητοι ὄντες.
11 Γυναῖκας ὡσαύτως σεμνάς, μὴ διαβόλους,
†νηφαλέους, πιστὰς ἐν πᾶσι. 12 Διάκονοι
ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων
καλῶς προϊστάμενοι καὶ τῶν ἰδίων οἴκων.
13 Οἱ γὰρ καλῶς διακονήσαντες βαθμὸν
ἑαυτοῖς καλὸν περιποιοῦνται, καὶ πολλὴν
παρρησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ.
14 Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρός
σε ‡τάχιον· 15 ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς
δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν
ἐκκλησία Θεοῦ ζῶντος, στύλος καὶ ἑδραίωμα
τῆς ἀληθείας. 16 Καὶ ὁμολογουμένως μέγα
ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον·

§Θεὸς ἐφανερώθη ἐν σαρκί,
ἐδικαιώθη ἐν πνεύματι,
ὤφθη ἀγγέλοις,

---

* **3:7** αυτον ¦ — CT † **3:11** νηφαλεους ¦ νηφαλιους ANT CT PCK SCR ‡ **3:14** ταχιον 90.4% ¦ εν ταχει NA SBL WH 1.7% § **3:16** θεος ¦ ος CT

ἐκηρύχθη ἐν ἔθνεσιν,
ἐπιστεύθη ἐν κόσμῳ,
*ἀνελήφθη ἐν δόξῃ.

# 4

1 Τὸ δὲ πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν
ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς
πίστεως, προσέχοντες πνεύμασι πλάνοις
καὶ διδασκαλίαις δαιμονίων, 2 ἐν ὑποκρίσει
ψευδολόγων, *κεκαυτηριασμένων τὴν
ἰδίαν συνείδησιν, 3 κωλυόντων γαμεῖν,
ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς
†μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς
καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν. 4 Ὅτι πᾶν
κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον,
μετὰ εὐχαριστίας λαμβανόμενον· 5 ἁγιάζεται
γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.
6 Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς καλὸς
ἔσῃ διάκονος ‡Ἰησοῦ Χριστοῦ, ἐντρεφόμενος
τοῖς λόγοις τῆς πίστεως, καὶ τῆς καλῆς
διδασκαλίας ᾗ παρηκολούθηκας. 7 Τοὺς
δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ.
Γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν· 8 ἡ
γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν
ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός
ἐστιν, §ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν
καὶ τῆς μελλούσης. 9 Πιστὸς ὁ λόγος

* **3:16** ανεληφθη ¦ ανελημφθη CT * **4:2** κεκαυτηριασμενων ¦ κεκαυστηριασμενων ANT CT † **4:3** μεταληψιν ¦ μεταλημψιν CT ‡ **4:6** ιησου χριστου ¦ χριστου ιησου CT § **4:8** επαγγελιαν ¦ επαγγελιας ANT PCK

καὶ πάσης ἀποδοχῆς ἄξιος. 10 Εἰς τοῦτο
γὰρ *καὶ κοπιῶμεν καὶ †ὀνειδιζόμεθα, ὅτι
ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ
πάντων ἀνθρώπων, μάλιστα πιστῶν.
11 Παράγγελλε ταῦτα καὶ δίδασκε. 12 Μηδείς
σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος
γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν
ἀγάπῃ, ‡ἐν πνεύματι, ἐν πίστει, ἐν §ἁγνείᾳ.
13 Ἕως ἔρχομαι, πρόσεχε τῇ ἀναγνώσει, τῇ
παρακλήσει, τῇ διδασκαλίᾳ. 14 Μὴ ἀμέλει
τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ
προφητείας μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ
πρεσβυτερίου. 15 Ταῦτα μελέτα, ἐν τούτοις
ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ *ἐν πᾶσιν.
16 Ἔπεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ. Ἐπίμενε
αὐτοῖς· τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις
καὶ τοὺς ἀκούοντάς σου.

# 5

1 Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ
παρακάλει ὡς πατέρα· νεωτέρους, ὡς
ἀδελφούς· 2 πρεσβυτέρας, ὡς μητέρας·
νεωτέρας, ὡς ἀδελφάς, ἐν πάσῃ *ἁγνείᾳ.
3 Χήρας τίμα τὰς ὄντως χήρας. 4 Εἰ δέ
τις χήρα τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν
πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν, καὶ ἀμοιβὰς
ἀποδιδόναι τοῖς προγόνοις· τοῦτο γάρ ἐστιν

---

* **4:10** και ¦ — CT † **4:10** ονειδιζομεθα ¦ αγωνιζομεθα NA TH WH ‡ **4:12** εν πνευματι 90.4% ¦ — CT 9% § **4:12** αγνεια ¦ αγνια WH * **4:15** εν 95.4% ¦ — CT 2.6% * **5:2** αγνεια ¦ αγνια WH

†ἀπόδεκτον ἐνώπιον τοῦ Θεοῦ. 5 Ἡ δὲ
ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ
‡τὸν Θεόν, καὶ προσμένει ταῖς δεήσεσι καὶ
ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας. 6 Ἡ
δὲ σπαταλῶσα, ζῶσα τέθνηκε. 7 Καὶ ταῦτα
παράγγελλε, ἵνα §ἀνεπίληπτοι ὦσιν. 8 Εἰ
δέ τις τῶν ἰδίων καὶ μάλιστα *τῶν οἰκείων
οὐ †προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν
ἀπίστου χείρων.

9 Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν
ἑξήκοντα, γεγονυῖα ἑνὸς ἀνδρὸς γυνή,
10 ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ
ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων
πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν,
εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε.
11 Νεωτέρας δὲ χήρας παραιτοῦ· ὅταν γὰρ
καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν
θέλουσιν, 12 ἔχουσαι κρίμα, ὅτι τὴν
πρώτην πίστιν ἠθέτησαν. 13 Ἅμα δὲ καὶ
ἀργαὶ μανθάνουσι, περιερχόμεναι τὰς
οἰκίας, οὐ μόνον δὲ ἀργαί, ἀλλὰ καὶ
φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ
δέοντα. 14 Βούλομαι οὖν νεωτέρας γαμεῖν,
τεκνογονεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν
ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας
χάριν. 15 Ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω
τοῦ Σατανᾶ. 16 Εἴ τις ‡πιστὸς ἢ πιστὴ ἔχει

† **5:4** αποδεκτον ¦ καλον και αποδεκτον ANT TR ‡ **5:5** τον ¦ — NA SBL § **5:7** ανεπιληπτοι ¦ ανεπιλημπτοι CT * **5:8** των ¦ — CT † **5:8** προνοει ¦ προνοειται TH ‡ **5:16** πιστος η 87.4% ¦ — CT 1.9%

χήρας, §ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ
ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ.

17 Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς
τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες
ἐν λόγῳ καὶ διδασκαλίᾳ. 18 Λέγει γὰρ ἡ
γραφή, Βοῦν ἀλοῶντα οὐ φιμώσεις· καί,
Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. 19 Κατὰ
πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς
εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων. 20 *Τοὺς
ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα
καὶ οἱ λοιποὶ φόβον ἔχωσι. 21 Διαμαρτύρομαι
ἐνώπιον τοῦ Θεοῦ καὶ †Κυρίου Ἰησοῦ
Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα
ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν
ποιῶν κατὰ ‡πρόσκλησιν. 22 Χεῖρας ταχέως
μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις
ἀλλοτρίαις· σεαυτὸν ἁγνὸν τήρει. 23 Μηκέτι
ὑδροπότει, §ἀλλ᾽ οἴνῳ ὀλίγῳ χρῶ, διὰ τὸν
στόμαχόν *σου καὶ τὰς πυκνάς σου ἀσθενείας.
24 Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί
εἰσι, προάγουσαι εἰς κρίσιν· τισὶ δὲ καὶ
ἐπακολουθοῦσιν. 25 Ὡσαύτως καὶ τὰ †καλὰ
ἔργα πρόδηλά ‡ἐστι· καὶ τὰ ἄλλως ἔχοντα
κρυβῆναι οὐ §δύνανται.

§ **5:16** επαρκειτω ¦ επαρκεισθω TH * **5:20** τους ¦ τους δε WH † **5:21** κυριου ιησου χριστου ¦ χριστου ιησου CT ‡ **5:21** προσκλησιν ¦ προσκλισιν CT PCK TR § **5:23** αλλ ¦ αλλα NA27 SBL TH WH * **5:23** σου ¦ — CT † **5:25** καλα εργα ¦ εργα τα καλα CT ‡ **5:25** εστι ¦ — CT § **5:25** δυνανται ¦ δυναται TR

# 6

1 Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους
δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν,
ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία
βλασφημῆται. 2 Οἱ δὲ πιστοὺς ἔχοντες
δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί
εἰσιν· ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι
πιστοί εἰσι καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας
ἀντιλαμβανόμενοι.
Ταῦτα δίδασκε καὶ παρακάλει. 3 Εἴ
τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται
ὑγιαίνουσι λόγοις, τοῖς τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ᾽ εὐσέβειαν
διδασκαλίᾳ, 4 τετύφωται, μηδὲν ἐπιστάμενος,
ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας,
ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι,
ὑπόνοιαι πονηραί, 5 *διαπαρατριβαὶ
διεφθαρμένων ἀνθρώπων τὸν νοῦν, καὶ
ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων
πορισμὸν εἶναι τὴν εὐσέβειαν. †Ἀφίστασο
ἀπὸ τῶν τοιούτων. 6 Ἔστι δὲ πορισμὸς
μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας· 7 οὐδὲν
γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, ‡δῆλον
ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα· 8 ἔχοντες
δὲ διατροφὰς καὶ σκεπάσματα τούτοις
ἀρκεσθησόμεθα. 9 Οἱ δὲ βουλόμενοι πλουτεῖν
ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα καὶ
ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς,
αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς

---

* **6:5** διαπαρατριβαι ¦ παραδιατριβαι ANT TR † **6:5** αφιστασο απο των τοιουτων 92.5% ¦ — CT 2.9% ‡ **6:7** δηλον ¦ — CT

ὄλεθρον καὶ ἀπώλειαν. 10 Ῥίζα γὰρ πάντων
τῶν κακῶν ἐστιν ἡ φιλαργυρία· ἧς τινες
ὀρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως,
καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς.
11 Σὺ δέ, ὦ ἄνθρωπε §τοῦ Θεοῦ, ταῦτα φεῦγε·
δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν, πίστιν,
ἀγάπην, ὑπομονήν, *πρᾳότητα. 12 Ἀγωνίζου
τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ
τῆς αἰωνίου ζωῆς, εἰς †ἣν ἐκλήθης, καὶ
ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον
πολλῶν μαρτύρων. 13 Παραγγέλλω σοι
ἐνώπιον τοῦ Θεοῦ τοῦ ‡ζῳοποιοῦντος τὰ
πάντα, καὶ Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος
ἐπὶ Ποντίου §Πιλάτου τὴν καλὴν ὁμολογίαν,
14 τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον,
*ἀνεπίληπτον, μέχρι τῆς ἐπιφανείας τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, 15 ἣν καιροῖς
ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης,
ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος
τῶν κυριευόντων, 16 ὁ μόνος ἔχων ἀθανασίαν,
φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς
ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ
κράτος αἰώνιον. Ἀμήν.
17 Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι
παράγγελλε, μὴ ὑψηλοφρονεῖν, μηδὲ
ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ᾽ †ἐν

§ **6:11** του ¦ — CT * **6:11** πραοτητα ¦ πραυπαθιαν NA SBL WH ¦ πραυπαθειαν TH † **6:12** ην ¦ ην και ANT PCK TR ‡ **6:13** ζωοποιουντος ¦ ζωογονουντος CT § **6:13** πιλατου ¦ πειλατου WH * **6:14** ανεπιληπτον ¦ ανεπιλημπτον CT † **6:17** εν τω θεω τω ζωντι 77.2% ¦ επι θεω CT 1%

τῷ Θεῷ τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν ‡πάντα
πλουσίως εἰς ἀπόλαυσιν· 18 ἀγαθοεργεῖν,
πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους
εἶναι, κοινωνικούς, 19 ἀποθησαυρίζοντας
ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα
ἐπιλάβωνται τῆς §αἰωνίου ζωῆς.
20 Ὦ Τιμόθεε, τὴν *παραθήκην φύλαξον,
ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας
καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως·
21 ἥν τινες ἐπαγγελλόμενοι περὶ τὴν πίστιν
ἠστόχησαν.

Ἡ χάρις †μετὰ σοῦ. ‡Ἀμήν.§

---

‡ **6:17** παντα πλουσιως ¦ πλουσιως παντα TR § **6:19** αιωνιου ¦ οντως CT * **6:20** παραθηκην ¦ παρακαταθηκην ANT TR † **6:21** μετα σου ¦ μεθ υμων CT ‡ **6:21** αμην ¦ — CT § **6:21** The following scribal note is included in the colophons of many Greek manuscripts: Πρὸς Τιμόθεον πρώτη ἐγράφη ἀπὸ Λαοδικείας, ἥτις ἐστὶ μητρόπολις Φρυγίας τῆς Πακατιανῆς.

# Η Καινή Διαθήκη
## The New Testament in Ancient Greek with critical text notes

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Translation by: Maurice A. Robinson

Contributor: Robert Adam Boyd

The Text-Critical Greek New Testament is based upon The New Testament in the Original Greek: Byzantine Textform 2018, compiled and arranged by Maurice A. Robinson and William G. Pierpont.

The following disclaimer is printed in the The New Testament in the Original Greek: Byzantine Textform 2018:

Anyone is permitted to copy and distribute this text or any portion of this text. It may be incorporated in a larger work, and/or quoted from, stored in a database retrieval system, photocopied, reprinted, or otherwise duplicated by anyone without prior notification, permission, compensation to the holder, or any other restrictions. All rights to this text are released to everyone and no one can reduce these rights at any time. Copyright is not claimed nor asserted for either the preface, notes, or the new and revised form of the Greek NT text of this edition, nor for the original form of such as initially released into the public domain by the editors, first as printed textual notes in 1979, continuous-text electronic form 1986–present, and in published editions from 1991, 2005, and 2010.

The permitted use or reproduction of the Greek text or other material contained within this volume (whether by print, electronic media, or other form) does not imply doctrinal or theological agreement by the present editors and publisher with whatever views may be maintained or promulgated by other publishers. For the purpose of assigning responsibility, it is requested that the present editors' names and the title associated with this text as well as this disclaimer be retained in any subsequent reproduction of this material.

2024-03-14

---

PDF generated using Haiola and XeLaTeX on 29 Apr 2024 from source files dated 23 Apr 2024

ebdf933b-03a4-5add-853f-51a05e168973